τὴν δὲ ναυτικὴν δύναμιν ἐς τὰ τῆς Θεσσαλονίκης ἐπίνεια εὐθυπλοήσασαν σχών, τὰ ἐκεῖ ληλατεῖ, καὶ τὴν Θεσσαλονίκην κατά τε γῆν καὶ θάλατταν περιλαβόντων αὐτῶν, ἑάλω καὶ ἡ πόλις αὐτή, καὶ εἴσω δέχεται τὸ πολέμιον, οὔκουν διὰ τὸ τῶν ἔνδον ἀνίσχυρον καὶ ἄπειρον τοῦ πολέμου, ἀλλὰ τὸ ἀστρατήγητον μᾶλλον τοῦ ἐκ Κομνηνῶν Δαυΐδ· οὗτος γὰρ ἐς οὐδὲν χρήσιμος τοῖς Θεσσαλονικεῦσιν ὀφθείς, δεξιώτατος δὲ μόνον γενόμενος δεδιέναι Ἀνδρόνικον, καὶ τρόπον ἐπιζητῶν δι' οὗ τὰς χεῖρας ἐκείνου ἐκφεύξεται, ἔλαθε τοὺς συλληψομένους αὐτόν τε καὶ τὴν πόλιν, καὶ πόρρωθεν ὄντας μετακαλούμενος ἄντικρυς. Οὐκοῦν καὶ τοῦ τῆς μάχης ἐνστάντος καιροῦ, καὶ παντοίων ὅπλων καὶ μηχανῶν κινουμένων κατὰ τῆς πόλεως, θεατὴς τῶν πολεμίων ἦν, οὐκ ἀντίπαλος· οὔτε γὰρ ὤφθη ἐπεκδραμών, καὶ ταῦτα διανιστώντων πολλῶν, οὔτε δράσειν οὕτως αὐτοῖς ἐνέδωκε· τοίνυν οὐδενὶ τῶν πάντων ὤφθη πανοπλίαν ἀμφιασάμενος, ἀλλ' ἀπεῖχε παντὸς ὅπλου κατὰ τὰς ἐσκιατραφημένας τῶν γυναικῶν· τῶν δὲ μηχανημάτων βαλλόντων τὰ τείχη, αὐτὸς εἰς γέλωτα εἶχε τοὺς τῶν ἀφιεμένων λίθους κτύπους, ὡς καὶ λέγειν, Ἄκουε τὰ τῆς γραίας βοήματα (τὴν μεγίστην τῶν ἑλεπόλεων οὕτω καλῶν). Ἐπ' ὀλίγον γοῦν ἀντισχοῦσα ἡ πόλις, ὑπέκυψε τοῖς ἐχθροῖς· τὰ δ' ἐπὶ τούτοις ἄλλη τις ἐστιν Ἰλιὰς κακῶν· ἅπας γὰρ οἶκος τῶν ἐνόντων ἐστέρητο, οὐκ ἦν οἰκία σώζουσα, οὐ στενωπὸς τῶν ἀναιρούντων λυτρούμενος, ἀλλὰ διὰ πάντων ἐχώρει τὸ ξίφος· κενὴ καὶ ἡ κατὰ τοὺς ἱεροὺς νεὼς συνδρομή, οἱ γὰρ βάρβαροι καὶ θεῖα καὶ ἀνθρώπινα συγχέοντες πράγματα, τιμῆς οὐδεμιᾶς ἠξίουν τὰ τοῦ θεοῦ· τὰς παναγεῖς Χριστοῦ εἰκόνας καὶ τῶν αὐτοῦ θεραπόντων ἠδάφιζον, καὶ εἴ τις ἦν αὐταῖς κόσμος, τοῦτον ἀφῄρουν, αὐτὰς δὲ ὡς ἔτυχεν εἰς τὰς τριόδους ἐξέφερον τοῖς παροδεύουσιν ἐσομένας εἰς καταπάτημα, ἢ τῷ πυρὶ παρεδίδοσαν· ἀνοσιώτατον δὲ μάλιστα καὶ ὡσὶ πιστῶν ἀπαράδεκτον, ὅτι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ